<Περὶ τῶν πονηρῶν πνευμάτων.>

Τὰ δὲ πονηρὰ πνεύματα τὴν τῆς πίστεως ἀλήθειαν διαφθείρειν ἐπιχειροῦντα, ὥσπερ καταχρῶνται τῇ τῶν θαυμάτων ἐνεργείᾳ, ὥστε αἱρέσεις εἰσάγειν καὶ τῆς ἀληθοῦς πίστεως τὰς ἀποδείξεις ἐκλύειν οὐ τῷ θαύματα ποιεῖν ἀληθῆ ἀλλὰ θαυμαστὰ τοῖς ἀνθρώποις δοκοῦντα, οὕτω καὶ τῇ προφητικῇ καταχρῶνται προρρήσει, οὐ προφητεύοντες ἀληθῶς, ἀλλὰ προλέγοντές τινι κατὰ τὴν τάξιν τῶν τοῖς ἀνθρώποις ἀφανῶν αἰτίων, ὡς δοκεῖν τὰ μέλλοντα προγινώσκειν ἐν ἑαυτοῖς· καὶ εἰ ἐκ τῶν φυσικῶν αἰτίων ἀποτελέσματα συμβεβηκότα προΐασιν, τὰ προειρημένα μέντοι πνεύματα τῇ τοῦ ἑαυτῶν νοῦ λεπτότητι μᾶλλον τῶν ἀνθρώπων ἴσασι πότε καὶ πῶς τὰ τῶν φυσικῶν αἰτίων ἀποτελέσματα κωλύεσθαι δύνανται, καὶ οὕτω περὶ τῶν μελλόντων προλέγοντες, θαυμαστότεροι καὶ ἀληθέστεροι τῶν ὁπώσποτε ἐπιστημόνων ἀνθρώπων δοκοῦσιν. Τῶν δὲ φυσικῶν αἰτίων ὑψηλότεραι καὶ τῆς ἡμετέρας γνώσεως ἐξῃρημέναι αἱ δυνάμεις εἰσὶ τῶν οὐρανίων σωμάτων, ἃς τοῖς προειρημένοις ἐγνῶσθαι πνεύμασι κατὰ τὴν ἰδιότητα τῆς αὐτῶν φύσεως ἐκ τῶν ἀνωτέρων δῆλόν ἐστιν. Ἐπεὶ τοίνυν πάντα τὰ ὑποκάτω σώματα, ταῖς δυνάμεσι καὶ κινήσεσι τῶν ἀνωτέρων διατίθενται, πολλῷ μᾶλλον τὰ προειρημένα πνεύματα παντὸς ἀστρολόγου δύνανται προλέγειν ἀνέμους καὶ λαίλαπας καὶ φθορὰς ἀέρος, f. 134 καὶ τὰ τοιαῦτα, ἃ περὶ τὰς μεταβολὰς | τῶν ὑποκάτω σωμάτων ἐκ τῆς κινήσεως τῶν οὐρανίων συμβαίνουσιν. Ἀλλὰ τὰ οὐράνια σώματα εἰς τὸ νοερὸν τῆς ψυχῆς ἄντικρυς οὐ δύνανται δρᾶν· οἱ πλεῖστοι μέντοι ταῖς τῶν παθῶν ὁρμαῖς ἕπονται καὶ ταῖς σωματικαῖς ῥοπαῖς, ἐν οἷς ἐκεῖνα τὸ δραστήριον ἔχουσιν. Τῶν γὰρ σοφῶν μόνον ἐστίν, ὧν ὀλίγος ἐστὶν ἀριθμός, τοῖς τοιούτοις ἀνθίστασθαι πάθεσιν, κἀντεῦθεν συμβαίνει πολλὰ καὶ περὶ τῶν ἀνθρωπίνων προλέγειν πράξεων, εἰ καὶ πολλάκις ἀποτυγχάνουσι διὰ τὴν τοῦ αὐτεξουσίου ἐλευθερίαν. Ἃ δὲ προγινώσκουσι, προλέγουσι μὲν οὐκ ἐλλάμποντες τὴν διάνοιαν, ὡς ἐν τῇ θείᾳ ἀποκαλύψει· οὐ γάρ ἐστιν ὁ τούτων σκοπὸς τῷ τὴν ἀλήθειαν γινώσκειν τελειωθῆναι τὸν ἀνθρώπινον νοῦν, ἀλλὰ μᾶλλον ὥστε τὴν ἀλήθειαν ἀπεστράφθαι· προλέγουσι δέ, ποτὲ μὲν κατὰ τὴν τῆς φαντασίας μεταβολὴν ἢ ἐν τῷ καθεύδειν, ὅταν δι᾽ ἐνυπνίων μελλόντων τινῶν σημεῖα δεικνύωσιν, ἢ ἐν τῷ ἐγρηγορέναι, ὡς ἐπὶ τῶν <μαινομένων> καὶ φρενιτικῶν δῆλον, οἵ τινα τρόπον λέγουσι μέλλοντα· ποτὲ δὲ καὶ διά τινων ἐξωτερικῶν σημείων, ὥσπερ διὰ κινήσεων ἢ κλαγγῆς ὀρνίθων, καὶ διὰ τῶν φαινομένων ἐν ταῖς ἀνατομαῖς τῶν ζῴων, καὶ ἐν στιγμῶν τινων διαγραφῇ, καὶ ἐν τοῖς ὁμοίοις, ἃ κλήρῳ τινὶ δοκεῖ γίνεσθαι·

---

1 Ce sous titre du même chapitre CLIV a été écrit en marge par la main qui a dressé l'index de tout l'ouvrage 32-33 <*μαινομένων*> (= *arreptitiis*), mot remplacé par un blanc dans A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποτὲ δὲ καὶ ὁρατῶς φαινόμενοι αἰσθητῷ λόγῳ τὰ μέλλοντα προλέγουσιν. Πολλάκις δὲ ταῦτα καὶ τῇ θείᾳ βουλήσει οἰκονομοῦνται, τῶν μακαρίων πνευμάτων ὑπηρετούντων, ἐπεὶ πολλὰ παρὰ Θεοῦ καὶ δι' ἐνυπνίων ἀποκαλύπτονται, ὡς τῷ Φαραὼ καὶ Βαρούχ, καὶ „οἱ ἐν τῷ κόλπῳ βαλλόμενοι κλῆροι πολλάκις καὶ παρὰ Θεοῦ παραμίγνυνται", ὥς φησι Σολομών· ὅμως τὸ πλεῖστον ἐκ τῆς τῶν πονηρῶν πνευμάτων ἐνεργείας συμβαίνει. Διὸ καὶ ἐν τῷ παλαιῷ νόμῳ ἅμα τῇ εἰδωλολατρείᾳ ἐκωλύετο ταῦτα, ὡς ἐν τῷ Δευτερονομίῳ λέγεται· „Οὐ μιμήσῃ τὰ βδελύγματα τῶν ἐθνῶν", οἷς ἐδούλευον δηλονότι τοῖς εἰδώλοις, „μηδὲ ἔστω ἐν σοὶ τὸν υἱὸν αὐτοῦ ἢ τὴν θυγατέρα ἄγων διὰ πυρός, ἢ μάγους ἐπερωτῶν, ἢ παρατηρῶν ἐν ὕπνοις, ἢ οἰωνούς. Μὴ ἔστω φαρμακός, ἢ ἐπαοιδός, ἢ ἐγγαστρίμυθος, ἢ μάντις ζητῶν ἀλήθειαν ἀπὸ τῶν νεκρῶν".

Τῷ δὲ τῆς πίστεως κηρύγματι μαρτυρεῖ καθ' ἕτερον τρόπον τὸ προφητεύειν, καθόσον δηλονότι τινὰ δεῖν κατέχεσθαι πίστει | κηρύττονται, f. 134v
ἃ γίνονται ἐπὶ χρόνον, ὥσπερ ἡ τοῦ Χριστοῦ γέννησις, ἡ σταύρωσις καὶ ἡ ἀνάστασις, καὶ τὰ τοιαῦτα. Καὶ ἵνα μὴ ταῦτα ὑπὸ τῶν κηρυττόντων πεπλάσθαι πιστεύωνται, ἢ κατὰ τύχην ἀποβῆναι, προφήταις εἰρημένα πολλῷ πρότερον δείκνυνται. Ὅθεν καὶ ἐν τῇ πρὸς Ῥωμαίους ὁ Ἀπόστολος φησίν· „Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα".

Μετὰ δὲ τὸν βαθμὸν τῶν ἀμέσως παρὰ Θεοῦ τὰς ἀποκαλύψεις δεχομένων, ἔστι καὶ ἕτερος βαθμὸς χάριτος ἀναγκαῖος, τὸ δύνασθαι ἑρμηνεύειν ταῦτα, Γραφῇ πρὸς τὴν τῶν ἐσομένων διδασκαλίαν παραδεδομένα, ὡς ἐν τῇ Γενέσει λέγεται· „Οὐχὶ παρὰ Θεοῦ ἡ διασάφησις;"

Ἕπεται καὶ ἕτερος ἔσχατος βαθμός, τῶν πειθομένων τοῖς πρὸς ἄλλους μὲν ἀποκαλυφθεῖσι, παρ' ἄλλων δὲ ἑρμηνευομένοις πιστῶς· τοῦτο δὲ ὅτι δῶρόν ἐστι Θεοῦ προαποδέδεικται. Ἐπεὶ δὲ διὰ τῶν πονηρῶν πνευμάτων γίνεται ὅμοια τούτοις, ἵνα μὴ διὰ τῶν τοιούτων ἀπατώμενοι οἱ ἄνθρωποι, τῷ ψεύδει πιστεύωσιν, ἀναγκαῖον τῇ τῆς θείας χάριτος βοηθείᾳ διδάσκεσθαι τὴν τῶν πνευμάτων διάκρισιν, ὡς ἐν τῇ πρώτῃ Ἰωάννου· „Μὴ παντὶ πιστεύετε πνεύματι, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ εἰσιν".

Ταῦτα τοίνυν τῆς χάριτος τὰ ἀποτελέσματα πρὸς καταρτισμὸν καὶ βεβαίωσιν τῆς πίστεως τεταγμένα ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ὁ Ἀπόστολος ἀριθμεῖ, λέγων· „Ἄλλῳ μὲν γὰρ διὰ Πνεύματος δίδοται λόγος σο-

---

1 *φαινόμενοι* corrigé de *φαινόμενα* A 4 Prov. 16, 33 6 *ἐνεργείας* corrigé de *ἀνεργείας* A 8 Deut. 18, 9-11 19 Rom. 1, 1-3 26 Gen. 40, 8 32 I Ioh. 4, 1 36 I Cor. 12, 8-10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φίας, ἑτέρῳ δὲ λόγος ἐπιστήμης κατὰ τὸ αὐτὸ Πνεῦμα, ἄλλῳ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ, χάρισμα ἰαμάτων ἐν ἑνὶ Πνεύματι, ἄλλῳ δυνάμεων ἐνέργεια, ἑτέρῳ προφητεία, ἄλλῳ διάκρισις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία λόγων". Ἐν δὲ τοῖς προειρημένοις τῆς χάριτος ἀποτελέσμασιν ἔνι διαφορά· πᾶσι μὲν γὰρ τὸ τῆς χάριτος ὄνομα πρόσεστιν ὡς προῖκα διδομένοις, τὸ δὲ τῆς ἀγάπης ἀποτέλεσμα κυρίως οὕτω καλεῖται ὡς κεχαρισμένον ποιοῦν τῷ Θεῷ, ὡς ἐν Παροιμίαις· „Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας φιλῶ". Ὅθεν ἡ ἐλπὶς καὶ ἡ πίστις καὶ τὰ
f. 135 ἄλλα καὶ ἐν ἁμαρτωλοῖς καὶ μὴ κεχαρισμένοις | Θεῷ δύνανται εἶναι· μόνη δὲ ἡ ἀγάπη ἰδίως χαρίζεται τοῖς δικαίοις, ὅτι „ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ", ὡς ἐν τῇ δευτέρᾳ τοῦ Ἰωάννου λέγεται.

Ἔστι καὶ ἄλλη διαφορὰ ἐν αὐτοῖς. Ἔνια μὲν γὰρ αὐτῶν πρὸς ὅλην τὴν τοῦ ἀνθρώπου ζωήν εἰσιν ἀναγκαῖα, ὡς ἄνευ τούτων οὐ δυναμένου σωθῆναι, οἷον πιστεύειν, ἐλπίζειν, ἀγαπᾶν, ὑπακούειν ταῖς θείαις ἐντολαῖς· τὰ δ' ἄλλα πρὸς ὡρισμένους καιροὺς καὶ τόπους εἰσὶν ἀναγκαῖα, ὡς τὸ θαυματουργεῖν, τὸ προλέγειν τὰ μέλλοντα, καὶ τὰ ὅμοια. Πρὸς μὲν οὖν τὰς προτέρας χάριτας ἐγγίνονται τοῖς ἀνθρώποις καθ' ἕξιν τινὲς τελειότητες, ὥστε κατ' ἐκείνας δύνασθαι τοῦ καιροῦ καλοῦντος ἐνεργεῖν· πρὸς δὲ τὰς δευτέρας οὐ δίδονται καθ' ἕξιν τελειότητες, ἀλλ' ἐπίπνοιαί τινες ὑπὸ Θεοῦ γίνονται, αἳ παύονται παυομένης τῆς ἐνεργείας, καὶ ταύτας ἐπανακάμπτειν ἀνάγκη, ὅταν καὶ τὴν ἐνέργειαν ἐπανελθεῖν συμφέρον ᾖ, ὥσπερ οἱ προφῆται ἐν ἑκάστῃ ἀποκαλύψει καινῷ φωτὶ λάμπονται, καὶ ἐν ἑκάστῃ θαυμάτων ἐνεργείᾳ ἀνάγκη παρεῖναι ἐκ νέου τὸ δραστήριον τῆς θείας δυνάμεως.

## CLV. — Ὅτι ὁ ἄνθρωπος δεῖται τῆς βοηθείας τῆς θείας χάριτος, ὥστε παραμεῖναι ἐν τῷ ἀγαθῷ.

Πᾶν γὰρ τὸ ἀφ' ἑαυτοῦ μεταβλητὸν δεῖται βοηθείας τινὸς ἀκινήτου κινοῦντος, ὥστ' ἐν ἑνὶ πεπηγέναι· ὁ δὲ ἄνθρωπος μεταβλητός ἐστι καὶ ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν, καὶ τὸ ἀνάπαλιν. Πρὸς τὸ ἀκινήτως τοίνυν ἐν τῷ ἀγαθῷ διαμεῖναι τῆς θείας δεῖται βοηθείας.

Ἔτι, τὸ διαμένειν ἐν τῷ ἀγαθῷ ὑπὲρ τὴν δύναμίν ἐστι τοῦ αὐτεξουσίου· τὸ μὲν γὰρ ὑποπίπτον αὐτῇ πᾶν ὡς ἐνταυθοῖ ἢ νῦν ἐστι πρακτόν· τὸ δὲ διαμένειν συνέχειαν ἐνεργείας δηλοῖ κατὰ πάντα τὸν χρόνον. Πρὸς δὲ τὸ ὑπερβαῖνον τὴν τοῦ αὐτεξουσίου δύναμιν δεῖται τῆς ἐκ τῆς θείας χάριτος βοηθείας ὁ ἄνθρωπος.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Φιλιππησίους· „Ὁ ἐναρξάμενος ἐν ἡμῖν

---

8 Prov. 8, 17   10 I Ioh. 4, 16   38 Phil. 1, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀγαθοῦ ἔργου, αὐτὸς τελειώσει καὶ μέχρι τῆς ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ“· καὶ ἐν τῇ πρώτῃ Πέτρου· „Ὁ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν, μικρὸν παθόντας αὐτὸς τελειώσει καὶ βεβαιώσει καὶ στηρίξει“· καὶ ἐν τοῖς Ψαλμοῖς εὔχεται περὶ διαμονῆς· „Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβή|ματα μου“· καὶ ἐν τῇ πρὸς Τίτον· „Ὁ Θεὸς καὶ f. 135ᵛ πατὴρ ἡμῶν παρακαλέσαι τὰς καρδίας ὑμῶν καὶ βεβαιώσαι ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ“. Καὶ τὸ „ἐλθέτω ἡ βασιλεία σου“ τοῦτο βούλεται. Οὐ γὰρ ἂν ἦλθεν ἡ τοῦ Θεοῦ βασιλεία ἡμῖν μὴ ἐν τῷ ἀγαθῷ διαμείνασιν· ἐμπαικτῶν δ' ἂν ἦν παρὰ Θεοῦ ζητεῖν τι, οὗτινος αὐτὸς οὐκ ἂν ἦν δοτήρ. Ἡ ἄρα διαμονὴ τοῦ ἀνθρώπου ἐν τῷ ἀγαθῷ παρὰ τοῦ Θεοῦ ἐστι, καὶ δεῖται τῆς ἐκ τῆς θείας χάριτος βοηθείας πρὸς τὸ μέχρι τέλους ἐν τῷ ἀγαθῷ διαμένειν, οὐ διδομένης ἐπὶ τῇ καθ' ἕξιν χάριτι πρὸς τὸ τἀγαθὰ πράττειν ἄλλης χάριτος πρὸς τὸ διαμένειν, ἀλλὰ μετὰ πάσας τὰς ἀπὸ τῆς χάριτος ἕξεις τῆς θείας προνοίας ἔξωθεν κυβερνώσης τὸν ἄνθρωπον.

## CLVI. — Ὅτι ὁ δι' ἁμαρτίαν τῆς χάριτος ἐκπεσὼν ἐπανακληθῆναι δύναται διὰ χάριτος.

Τῆς αὐτῆς γὰρ δυνάμεως συνέχειν τι καὶ παρατραπὲν ἀποκαταστῆσαι· ὥσπερ γὰρ διὰ τῆς φυσικῆς δυνάμεως ἐν τῷ σώματι ἡ ὑγεία συνέχεται, οὕτω διὰ τῆς αὐτῆς φυσικῆς δυνάμεως φθαρεῖσα ἀποκαθίσταται. Ὁ δὲ ἄνθρωπος ἐν τῷ ἀγαθῷ διαμένει τῇ τῆς θείας χάριτος βοηθείᾳ· ὥστε καὶ δι' ἁμαρτίας παρατραπεὶς τῇ τῆς αὐτῆς χάριτος βοηθείᾳ δυνήσεται ἀποκατασταθῆναι.

Ἔτι, ἐκεῖνα μόνον ὁ ἄνθρωπος οὐ δύναται ἐπαναλαβεῖν, ἃ διὰ τῆς γενέσεως πρόσεστι τούτῳ, ὡς τὰς φυσικὰς δυνάμεις καὶ τὰ μέλη διὰ τὸ μὴ δύνασθαι πάλιν γεννηθῆναι. Ἡ δὲ τῆς χάριτος βοήθεια γεννηθέντι καὶ ἤδη ὄντι δίδοται, ὥστε δύναται αὐτὴν ἐπαναλαβεῖν, τῶν ἁμαρτημάτων ἀπαλειφθέντων.

Ἔτι, αἱ διὰ τῶν ἐνεργειῶν κτηθεῖσαι ἕξεις, εἶτα ἀποβληθεῖσαι, διὰ τῶν αὐτῶν ἐνεργειῶν ἐπανέρχονται· ἡ δὲ χάρις διάθεσίς τις καθ' ἕξιν ἐν τῇ ψυχῇ.

Ἔτι, οὐκ εἰκῇ δέδοται τῷ ἀνθρώπῳ ἐπιτηδειότης τοῦ κινεῖσθαι πρὸς τὸ ἀγαθὸν μετὰ τὸ δι' ἁμαρτίας ἐν ἕξει τοῦ κακοῦ γεγονέναι, ὃ δῆλον ἐκ τῆς ἐπιθυμίας τοῦ ἀγαθοῦ καὶ τῆς ἐπὶ τῷ κακῷ λύπης παραμενουσῶν τῷ ἀνθρώπῳ μετὰ τὴν ἁμαρτίαν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἡσαΐᾳ· „Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς

2 I Pet. 5, 10  5 Ps. 16, 5  6 non Tit., mais II Thess. 2, 15-16  20 *ὑγεία* sic A  37 Is. 1, 18

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κόκκινον, ὡς χίονα λευκανῶ"· καὶ ἐν ταῖς Παροιμίαις· „Πάντα παραπτώματα ἡ ἀγάπη καλύπτει"· οὔτε μάτην παρὰ τοῦ Κυρίου καθημέραν ζητοῦμεν· „Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν". Ἐντεῦθεν ἡ αἵρεσις τῶν f. 136 Ναυατινῶν | ἀποκλείεται, λεγόντων ὡς ἐπὶ τοῖς μετὰ τὸ βάπτισμα ἁμαρτηθεῖσιν οὐ δυνατὸν τὸν ἄνθρωπον συγγνώμης τυχεῖν.

## CLVII. — Ὅτι οὐ δύναται τῆς ἁμαρτίας ἀπαλλαγῆναι ὁ ἄνθρωπος εἰ μὴ διὰ τῆς χάριτος.

Ὁ γὰρ ἄνθρωπος διὰ τῆς πρὸς θάνατον ἁμαρτίας τοῦ ἐσχάτου τέλους ἀφίσταται, διὰ μόνης δὲ τῆς χάριτος εἰς τὸ ἔσχατον τάττεται τέλος· διὰ μόνης ἄρα τῆς χάριτος δύναται τῆς ἁμαρτίας ἀναστῆναι.

Ἔτι, διὰ τοῦ πρὸς θάνατον ἁμαρτήματος ὁ ἄνθρωπος προσκρούει τῷ Θεῷ, τὸ δὲ πρόσκομμα διὰ τῆς ἀγάπης ἀναιρεῖται. Ἀδύνατον ἄρα τῆς πρὸς θάνατον ἁμαρτίας ἀναστῆναι τὸν ἄνθρωπον εἰ μὴ διὰ τῆς χάριτος, δι' ἧς φιλία τις γίνεται μεταξὺ Θεοῦ καὶ ἀνθρώπου.

Ἐντεῦθεν τὸ ἐν τῷ Ἡσαΐᾳ· „Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας"· καὶ ἐν τοῖς Ψαλμοῖς· „Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου· ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν".

## CLVIII. — Ὅπως ὁ ἄνθρωπος τῆς ἁμαρτίας ἐλευθεροῦται.

Πρὸς δὲ τὸ τὴν τῆς ὀρθότητος ἕξιν ἐπανελθεῖν, θείας χάριτος βοηθείᾳ δεῖ τῆς ἁμαρτίας ἀποπηδῆσαι πρότερον, δι' ἧς ἐξέκλινε τῆς ὀρθότητος, οὐ μόνον τῇ ἔξωθεν ἐνεργείᾳ πεπαυμένον δηλονότι τοῦ ἁμαρτάνειν, ἀλλὰ καὶ τῇ θελήσει· τοῦτο δ' ἔστιν, ὅταν αὐτῷ καὶ τοῦ γενομένου μεταμέλῃ καὶ τὸ μέλλον προτίθηται φυλάττεσθαι· ἄλλως γὰρ οὐκ ἂν εἴη τὸ ἁμαρτάνειν ἐναντίον τῇ αὐτοῦ θελήσει, εἰ μήτ' ἀλγοίη, μήτε βεβαίως προτίθοιτο φυλάττεσθαι τοῦ λοιποῦ. Δεῖ δὲ τὴν θέλησιν διὰ τῶν ἐναντίων ἀποχωρῆσαι τῆς ἁμαρτίας τοῖς δι' ὧν ἐπὶ τὴν ἁμαρτίαν ἀπέκλινεν ἐφέσει καὶ ἡδονῇ τῇ περὶ τὰ αἰσθητά, καὶ ἀποχωρήσει τοίνυν διά τινων ἀλγεινῶν, οἷς λυπήσεται διὰ τὸ ἁμαρτεῖν. Ὡς γὰρ δι' ἡδονῆς ἡ βούλησις εἵλκυσται πρὸς τὴν τῆς ἁμαρτίας συγκατάθεσιν, οὕτω διὰ τῶν κολάσεων εἰς τὸ τὴν ἁμαρτίαν βδελλύττεσθαι βεβαιοῦται.

Ἔτι, ἀναγκαῖόν ἐστι πρὸς τὴν τῆς θείας ἀγαθότητος καὶ δικαιοσύνης φανέρωσιν καὶ τὴν αὐτοῦ τοῦ Θεοῦ δόξαν ὑπὲρ τῆς ἁμαρτίας ἀποδίδοσθαι τιμωρίαν, καὶ ὡς ἐναντία τῇ ἐκ Θεοῦ καταστάσῃ τάξει ἐποίει ὁ ἁμαρτάνων, τοὺς νόμους τοῦ Θεοῦ παραβαίνων, οὕτω τοῦτ' ἐν ἑαυτῷ ἀντισηκοῦν τῷ κολάζειν ἑαυτὸν ὑπὲρ οὗ πρότερον ἥμαρτεν.

---

1 Prov. 10, 12  16 Is. 43, 25  17 Ps. 84, 3  28 *ἀπέκλινεν* deux fois écrit A  35 *καταστάσει* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Δῆλον οὖν ἐντεῦθεν, ὅτι μετὰ τὸ διὰ τῆς χάριτος τυχεῖν ἀφέσεως τῶν ἁμαρτιῶν | καὶ πρὸς τὴν χάριν ἐπανελθεῖν, ἔνοχος ἔτι τινὸς κολά- f. 136v σεως μένει κατὰ τὴν θείαν δικαιοσύνην ὑπὲρ τῆς πεπραγμένης ἁμαρτίας, ἣν δὴ κόλασιν εἰ ἑκουσίως ἑαυτὸν ἀπαιτοίη, λέγεται κατὰ τοῦτο πρὸς τὸν Θεὸν διαλύεσθαι καθόσον πόνῳ καὶ μόχθῳ ἕπεται τῇ θεόθεν κατα-στάσῃ τάξει, ἑαυτὸν ὑπὲρ τῆς ἁμαρτίας κολάζων, ἣν ἁμαρτὼν παρέβη, τῇ ἰδίᾳ θελήσει ἑπόμενος. Εἰ δὲ ἑαυτὸν ταύτην οὐκ ἀπαιτοίη τὴν δίκην, παρὰ Θεοῦ ἡ κόλασις αὕτη ἐπαχθήσεται, τῶν τῇ θείᾳ ὑποκειμένων προνοίᾳ ἀτάκτως μεῖναι μὴ δυναμένων· ἡ δὲ τιμωρία αὕτη, διαλυτικὴ μὲν μετὰ τῆς αἱρέσεως τοῦ πάσχοντος γινομένη, καθαρτικὴ δέ, ἄλλου τιμωρουμένου καὶ ἐπανάγοντος. Ἐντεῦθέν ἐστιν ὅ φησιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νῦν δὲ κρινόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν“.

Δυνατὸν μέντοι τὴν τῆς ἁμαρτίας κατάγνωσιν καὶ τὴν πρὸς τὸν Θεὸν τῆς διανοίας συνάφειαν οὕτως ἰσχυρὰν εἶναι τῷ ἐπιστρέφοντι ὡς μηδεμίαν ἐναπομένειν κολάσεως ὀφειλήν. Ἡ γὰρ μετὰ τὴν ἄφεσιν τῆς ἁμαρτίας τιμωρία πρὸς τοῦτ᾽ ἔστιν ἀναγκαία, ὥστε τὴν διάνοιάν τε βεβαιωθῆναι καὶ ἐνιδρυνθῆναι τῷ ἀγαθῷ πλέον τῷ διὰ τῆς κολάσεως σωφρονισθέντι· ἰατρεῖαι γάρ τινές εἰσιν αἱ κολάσεις, καὶ ἵν᾽ ἡ τῆς δικαιοσύνης φυλάττηται τάξις, τοῦ ἁμαρτόντος δίκην ὑπέχοντος. Ἡ δὲ πρὸς τὸν Θεὸν ἀγάπη ἀρκεῖ τὴν τοῦ ἀνθρώπου διάνοιαν ἐν τῷ ἀγαθῷ βεβαιῶσαι, ἰδίως εἰ καὶ σφοδρὰ εἴη. Ὁμοίως δὲ καὶ ἡ τῆς ἁμαρτίας κατάγνωσις, ἐπιτεταμένη οὖσα, μεγάλην ὀδύνην ἐπάγει· ὅθεν διὰ τὴν τῆς ἀγάπης τοῦ Θεοῦ σφοδρότητα καὶ τῆς παρελθούσης ἁμαρτίας τὸ μῖσος τὸ τῆς διαλυτικῆς καὶ καθαρτικῆς τιμωρίας ἀναγκαῖον ἐκβάλλεται· καὶ εἰ μὴ τοιαύτη ἡ ἐκείνων εἴη σφοδρότης ὥστε τὴν τιμωρίαν παντελῶς ἐκβαλεῖν, ὅμως ὅσῳ σφοδρότερον εἴη τοῦτο, τοσοῦτον ἔλαττον τιμωρίας ἀρκέσει· ἃ δὲ διὰ τῶν φίλων ποιοῦμεν, δι᾽ ἡμῶν αὐτῶν δοκοῦμεν ποιεῖν. Ἡ γὰρ φιλία, καὶ μάλιστα ἡ τῆς ἀγάπης, ἐκ τῶν δύο ποιεῖ ἓν διὰ τῆς διαθέσεως, καὶ διὰ τοῦτο ὥσπερ δι᾽ ἑαυτοῦ τις, οὕτω καὶ δι᾽ ἄλλου δύναται ἀπολογή|σασθαι τῷ Θεῷ, ἐξαιρέτως ὅταν καὶ f. 137 ἀνάγκη ᾖ, καὶ εἷς ὑπὲρ ἑτέρου διαλύεσθαι δύναται, ὅταν ἑκάτερος ἐν ἀγάπῃ ᾖ. Ἐντεῦθέν ἐστιν ὅ φησιν ὁ Ἀπόστολος· „Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ“.

## CLIX. — Ὅτι τῷ ἀνθρώπῳ λογίζεται τὸ ἐπιστρέφεσθαι πρὸς τὸν Θεόν, εἰ καὶ ἁπλῶς τοῦτο μὴ δύναιτο.

Δεῖ γὰρ εἰδέναι ὡς, εἰ καὶ μηδεὶς διὰ τῆς τοῦ αὐτεξουσίου κινήσεως δύναται τὴν θείαν χάριν ἀντὶ μισθοῦ λαβεῖν, δύναται μέντοι κωλῦσαι

12 I Cor. 11, 31-32 32 Gal. 6, 2 35 *μὴ* devant *ἐπιστρέφεσθαι* effacé dans A (Latin = *si ad Deum non convertatur*)

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἑαυτὸν ὥστε μὴ ταύτην λαβεῖν· λέγεται γὰρ περί τινων ἐν τῷ Ἰώβ· „Εἶπον τῷ Θεῷ· ἀπόστηθι ἀφ' ἡμῶν· τὴν ἐπιστήμην τῶν ὁδῶν σου οὐ θέλομεν". Ὅθεν ἐν τῇ δυνάμει τοῦ αὐτεξουσίου κειμένου τὴν ὑποδοχὴν κωλῦσαι τῆς χάριτος, ἢ μὴ κωλῦσαι, οὐκ ἀπεικότως ἁμαρτίαν λογιστέον τῷ τῇ τῆς θείας χάριτος ὑποδοχῇ κατασκευάζοντι κώλυμα. Ὁ γὰρ Θεὸς τὸ ἐπ' αὐτῷ ἕτοιμός ἐστι πᾶσι χάριν παρέχειν· „Θέλει γὰρ πάντας ἀνθρώπους σωθῆναι", καὶ ἐν τῇ πρὸς Τιμόθεον λέγεται, καὶ τὰ ἑξῆς· ἀλλ' ἐκεῖνοι στεροῦνται μόνοι τῆς χάριτος οἵτινες ἐν ἑαυτοῖς ἐμπόδια ταύτῃ παρασκευάζουσιν, ὥσπερ τοῦ ἡλίου τὸν κόσμον φωτίζοντος, τῷ τοὺς ὀφθαλμοὺς κλείοντι εἰς μέμψιν λογισθείη, εἴ τι διὰ τοῦτο κακὸν ἕποιτο, εἰ καὶ μὴ δύναιτο βλέπειν, ἂν μὴ τῷ τοῦ ἡλίου φωτὶ προκαταλαμβάνηται.

## CLX. — Ὅτι ὁ ἐν τῇ ἁμαρτίᾳ ὢν ἄνευ τῆς χάριτος οὐ δύναται τὴν ἁμαρτίαν ἐκφυγεῖν.

Τὸ δὲ δύνασθαί τινα τῷ αὐτεξουσίῳ μὴ κωλῦσαι τὴν χάριν, ἐν τοῖς ἀκεραίαν ἔχουσι τὴν φυσικήν ἐστι δύναμιν. Εἰ δὲ διὰ προηγησαμένην ἀταξίαν εἰς τὸ κακὸν ἀποκλίνοι, οὐκ ἔστι παντελῶς ἐν τῇ τούτου δυνάμει μηδὲν κώλυμα θεῖναι τῇ χάριτι, ἀλλ' εἰ καὶ ἐπί τι ἀκαριαῖον πράξεως τινὸς ἁμαρτήματος μερικοῦ ἀποσχέσθαι δυνήσεται τῇ ἰδίᾳ δυνάμει, ὅμως, εἰ ἐπὶ πολὺ ἐγκαταλειφθείη, εἰς ἁμάρτημα πάντως πεσεῖται, ἐξ οὗ τῇ χάριτι ἐμπόδιον γίνεται. Ὅταν γὰρ ἡ τοῦ ἀνθρώπου διάνοια τῆς ὀρθότητος ἀποπέσοι, φανερὸν ὡς ἀπέστη τῆς τάξεως τοῦ προσήκοντος τέλους. Τὸ τοίνυν ὀφεῖλον ἐξαιρέτως δι' ἐφέσεως εἶναι ὥσπερ ἔσχατον τέλος γίνεται ἧττον ἐφετὸν τοῦ ἐφ' ὃ ἡ διάνοια ὡς εἰς ἔσχατον τέλος ἀτάκτως ἐπέστραπται. f. 137v | Ὁσάκις ἂν τοίνυν τι συναντήσῃ τῷ ἀτάκτῳ μὲν τέλει προσῆκον, τῷ δὲ προσήκοντι μαχόμενον τέλει, αἱρήσεται τοῦτο ὁ ἄνθρωπος, εἰ μὴ ἐπὶ τὴν προσήκουσαν ἐπανάγοιτο τάξιν, ὥστε τὸ προσῆκον τέλος ἁπάντων προτιμᾶν, ὅπερ ἐστὶ τῆς χάριτος ἔργον. Ὅταν δ' αἱρώμεθά τι τῷ ἐσχάτῳ μαχόμενον τέλει, ἐμπόδιον ποιοῦμεν τῇ χάριτι τῇ πρὸς τὸ τέλος ἀγούσῃ. Ὅθεν φανερόν, ὅτι μετὰ τὴν ἁμαρτίαν οὐ δυνατὸν πάσης ἁμαρτίας ἀποσχέσθαι τὸν ἄνθρωπον πρὸ τοῦ διὰ τῆς χάριτος ἐπὶ τὴν προσήκουσαν τάξιν ἐπαναχθῆναι.

Ἔτι, ὅταν ἐπί τι ἡ διάνοια κλίνῃ, οὐκ ἤδη ὁμοίως ἔχει πρὸς ἑκάτερον τῶν ἀντικειμένων, ἀλλὰ μᾶλλον ἐφ' ὃ ἔκλινεν· ἐφ' ὃ δὲ μᾶλλον ἡ διάνοια ῥέπει, ἐκεῖνο καὶ αἱρεῖται, εἰ μὴ τούτου ἀπαχθείη ὥσπερ μελέτῃ τινὶ τῷ τὸν λογισμὸν ἐθισθῆναι ἀποσείεσθαι τὰ τοιαῦτα· ὅθεν καὶ ἐν τοῖς αἰφνιδίοις ἐξαιρέτως τῆς ἔνδον διαθέσεως σημεῖον ἔστι λαβεῖν. Οὐκ ἔστι δὲ δυνατὸν τὴν διάνοιαν τοῦ ἀνθρώπου, διηνεκῶς ἐν ἐκείνῃ εἶναι τῇ

2 Iob, 21, 14    6 I Tim. 2, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀγρυπνίᾳ, ὥστ' ἀποσείεσθαι διὰ τοῦ λόγου ὅπερ ἂν οὐκ ᾖ δέον βούλεσθαι ἢ πράττειν, καὶ διὰ τοῦτο αἱρεῖταί ποτε ἐκεῖνο, ἐφ' ὃ ἔκλινε, τῆς ῥοπῆς μενούσης· καὶ οὕτως, εἰ ἐπὶ τὸ ἁμάρτημα κλίνοι, οὐκ ἀρκέσει μέχρι πολλοῦ, ὥστε μὴ ἁμαρτεῖν καὶ κώλυμα ποιῆσαι τῇ χάριτι, εἰ μὴ πρὸς τὴν τῆς ὀρθότητος στάσιν ἐπαναχθείη. Πρὸς τοῦτο δὲ συνεργοῦσι καὶ αἱ τῶν φυσικῶν παθῶν ὁρμαί, καὶ τὰ κατ' αἴσθησιν ἐφετά, καὶ τῶν παθῶν πλεῖστα, προφάσεις οὖσαι τοῦ ἁμαρτάνειν, δι' ὧν ῥᾳδίως εἰς τὸ ἁμαρτάνειν ὑπαγόμεθα, εἰ μή τις δι' ἰσχυρᾶς ἱδρύσεως ἐν τῷ ἐσχάτῳ τέλει ἀφελκυσθείη, ἣν ἡ χάρις ποιεῖ.

Ἐντεῦθέν ἐστι τὸ ἐν τοῖς Ψαλμοῖς· „Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με, Κύριε“· καὶ ὁ Κύριος εὔχεσθαι ἡμᾶς διδάσκει μὴ εἰσενεχθῆναι εἰς πειρασμόν, ἀλλὰ ῥυσθῆναι ἀπὸ τοῦ πονηροῦ. Ἀλλ' εἰ καὶ οἱ ἐν ἁμαρτίαις ὄντες οὐ δύνανται φυλάττεσθαι τῇ ἰδίᾳ βουλήσει ὥστε μὴ κωλύειν τὴν χάριν, μὴ τῇ θείᾳ χάριτι βοηθούμενοι, οὐχ ἥκιστα εἰς ἁμαρτίαν αὐτοῖς τοῦτο λογίζεται. Αὕτη γὰρ ἡ ἀσθένεια ἐκ προηγησαμένης ἁμαρτίας ἐν αὐτοῖς καταλείπεται, ὥσπερ ὁ μεθύων οὐκ ἂν παραιτήσαιτο ὑπὲρ τοῦ φόνου, ὃν τῇ ἑκουσίῳ ἁμαρτίᾳ | τῆς μέθης ἐτόλμησεν. f. 138

## CLXI. — Ὅτι ὁ Θεὸς τινὰς μὲν τῆς ἁμαρτίας ἐλευθεροῖ, τινὰς δὲ ἐναφίησιν τῇ ἁμαρτίᾳ.

Ἀλλ' εἰ καὶ ὁ ἁμαρτάνων κωλύει τὴν χάριν, καὶ καθόσον ἡ τῶν πραγμάτων τάξις ἀπαιτεῖ οὐκ ἔστι δίκαιος αὐτὴν δέξασθαι, ὅμως ἐπεὶ καὶ παρὰ τὴν ἐντεθεῖσαν τοῖς πράγμασι τάξιν ὁ Θεὸς ἐνεργεῖν δύναται, ὥσπερ ὅταν φωτίζῃ μὲν τὸν τυφλόν, ἀνιστᾷ δὲ τὸν νεκρὸν ὑπερβολῇ ἀγαθότητος, οὕτω καὶ τοὺς τὴν χάριν κωλύοντας φθάνει τῇ αὐτοῦ βοηθείᾳ ἀποστρέφων τοῦ κακοῦ καὶ πρὸς τὸ ἀγαθὸν ἐπιστρέφων· καὶ ὥσπερ οὐ τοὺς τυφλοὺς πάντας φωτίζει ἢ τοὺς ὀδυνωμένους ἰᾶται, ἵνα κἂν τοῖς θεραπευομένοις ἡ δύναμις αὐτοῦ φανερῶται κἂν τοῖς ἄλλοις ἡ τῆς φύσεως φυλάττηται τάξις, οὕτως οὐδὲ πάντας τοὺς τὴν χάριν κωλύοντας φθάνει τῇ ἑαυτοῦ βοηθείᾳ ἀποστρέφων μὲν τοῦ κακοῦ, πρὸς δὲ τὸ ἀγαθὸν ἐπιστρέφων, ἀλλὰ τινάς, ἐν οἷς ἂν βούλοιτο τὸ ἑαυτοῦ ἔλεος ἐκφῆναι οὕτως ὥστ' ἐν τοῖς ἄλλοις δήλην εἶναι τὴν τοῦ δικαίου τάξιν. Ἐντεῦθέν ἐστι τὸ ἀποστολικὸν ἐν τῇ πρὸς Ῥωμαίους· „Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν“.

## CLXII. — Ὅτι ὁ Θεὸς οὐδενὶ τοῦ ἁμαρτάνειν αἰτία.

Καταλείπει μὲν γὰρ τοὺς ἁμαρτωλοὺς ἐν ταῖς ἁμαρτίαις κατὰ τὸ προσῆκον, οὐκ ἐνάγει δὲ πρὸς αὐτάς. Οἱ γὰρ ἄνθρωποι κατὰ τὸ ἀποπλανᾶσθαι

---

10 Ps. 70, 9 33 Rom. 9, 21

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ ἐσχάτου τέλους ἁμαρτάνουσιν, ὡς ἐδείχθη. Ἐπεὶ δὲ πᾶν τὸ ποιοῦν πρὸς τὸ ἴδιον καὶ ἑαυτοῦ οἰκεῖον ποιεῖ, ἀδύνατον, τοῦ Θεοῦ ποιοῦντος, τοῦ ἐσχάτου τέλους ἀποπίπτειν τινάς, ὅ ἐστιν ὁ Θεός. Ἀδύνατον ἄρα ἁμαρτάνειν τινὰς ποιεῖν τὸν Θεόν.

Ἔτι, τὸ ἀγαθὸν κακοῦ αἰτία οὐ δύναται εἶναι.

Ἔτι, τὸ ποιεῖν ἕτερον ἁμαρτάνειν μάχεται τῇ σοφίᾳ καὶ τῇ ἀγαθότητι τοῦ ἀνθρώπου· πολλῷ μᾶλλον τῇ θείᾳ, ἧ πηγὴ τῆς ἀνθρωπίνης ἐξηρημένη ἐστίν.

Ἔτι, τὸ ἁμάρτημα πᾶν, ἐκ τῆς ἀσθενείας τῆς προσεχοῦς αἰτίας, οὐκ ἐκ τῆς ἐνεργείας τοῦ πρώτου ποιοῦντος, παρ᾽ οὗ πᾶσα τελειότης ἐστίν.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἐκκλησιαστῇ· „Μὴ εἴπῃς· ἐκεῖνός με ἀπεπλάνησεν"· καὶ μετ᾽ ὀλίγα· „Οὐδενὶ ἐνετείλατο τὰ ἄνομα πράττειν, καὶ οὐδενὶ δέδωκεν εὐρυχωρίαν τοῦ ἁμαρτάνειν"· καὶ ἐν τῷ πρώτῳ τοῦ Ἰακώ-
f. 138ᵛ βου· | „Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ὑπὸ Θεοῦ πειράζεται· ὁ γὰρ Θεὸς πειράζει οὐδένα". Τὸ δὲ ἐν τῇ Ἐξόδῳ· „Ἐγὼ ἐσκλήρυνα τὴν καρδίαν Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ"· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν", καὶ τὰ ἑξῆς· καὶ ἐν τῷ Ἡσαΐᾳ· „Ἐπλάνησας ἡμᾶς ἀπὸ τῶν ὁδῶν σου, καὶ ἐγκλήρυνας τὴν καρδίαν ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε"· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν τοῦ ποιεῖν τὰ μὴ καθήκοντα", οὕτω νοεῖται ὡς τοῦ Θεοῦ τισὶ μὴ διδόντος βοήθειαν πρὸς τὸ τὴν ἁμαρτίαν φυλάξασθαι, ἣν δίδωσιν ἄλλοις τισίν. Αὕτη δὲ ἡ βοήθεια οὐχ ἡ τῆς χάριτος ἐπιρροὴ μόνον ἐστίν, ἀλλὰ καὶ ἡ ἔξωθεν φυλακή, δι᾽ ἧς αἱ τοῦ ἁμαρτάνειν ἀφορμαὶ ἀναιροῦνται τῇ ἐκ Θεοῦ βοηθείᾳ, καὶ ὁ πρὸς τὴν ἁμαρτίαν ἐρεθισμὸς ἐπέχεται. Βοηθεῖ δὲ ὁ Θεὸς τῷ ἀνθρώπῳ κατὰ τῆς ἁμαρτίας καὶ τῷ φυσικῷ τοῦ λόγου φωτὶ καὶ τοῖς ἄλλοις φυσικοῖς ἀγαθοῖς, ἃ δέδωκεν αὐτῷ. Ἐπεὶ τοίνυν τὰ τοιαῦτα βοηθήματα ἀφαιρεῖ τινῶν, τῇ αὐτῶν πράξει τούτου προσήκοντος, καθόσον ἀπαιτεῖ ἡ θεία δικαιοσύνη, λέγεται τούτους σκληρύνειν, ἢ ἀποτυφλοῦν, ἤ τι τῶν εἰρημένων.

## CLXIII. — Περὶ προορισμοῦ καὶ ἀποδοκιμασίας καὶ ἐκλογῆς θείας.

Ἀνάγκη δὲ τὴν προειρημένην τῶν ἀνθρώπων διάκρισιν παρὰ τοῦ Θεοῦ ἐξ ἀϊδίου τετάχθαι, ὡς καὶ πάντα τὰ γινόμενα ἐκ Θεοῦ καὶ προῶπται τῇ αὐτοῦ σοφίᾳ καὶ τέτακται. Οὓς μὲν οὖν προδιετάξατο ὁδηγησομένους εἰς τὸ τέλος, προορίσαι λέγεται, ὡς ἐν τῇ πρὸς Ἐφεσίους· „Ὃς προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν, κατὰ τὴν πρόθεσιν τῆς βουλήσεως αὐτοῦ". Οἷς δὲ ἐξ

11 Eccli. 15, 12 12 Eccli. 15, 21 14 Iac. 1, 13 15 Ex. 10, 1 16 Is. 6, 10 18 Is. 23, 17 20 Rom. 1, 28 36 Eph. 1, 5

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀϊδίου μὴ δοῦναι τὴν χάριν ταύτην προδιετάξατο, ἀποδοκιμάσαι λέγεται, ὡς ἐν τῷ Μαλαχίᾳ· „Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα". Τῷ δὲ τῆς τοιαύτης διακρίσεως λόγῳ ἡ θεία καταλαμβάνεται ἐκλογή, ὡς ἐν τῇ πρὸς Ἐφεσίους· „Ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου". Δῆλον οὖν, ὅτι προορισμὸς καὶ ἀποδοκιμασία καὶ ἐκλογή, μέρος τι τῆς θείας προνοίας. Οὐδ' ἐπάγουσιν ἀνάγκην. Ἡ γὰρ θεία πρόνοια, ὡς δέδεικται, τὸ ἐνδεχόμενον τῶν πραγμάτων οὐκ ἀναιρεῖ. Ὅτι δὲ τοῦ προορισμοῦ καὶ τῆς ἐκλογῆς οὐκ ἔστιν αἴτιον ἀνθρώπινά τινα ἔργα, δῆλον | γένοιτ' ἂν f. 139
οὐ μόνον ἐκ τοῦ τὴν χάριν τοῦ Θεοῦ, τοῦ προορισμοῦ οὖσαν ἀποτέλεσμα, ὑπὸ τῶν ἔργων μὴ προλαμβάνεσθαι ἀλλὰ καὶ πάντων ἀνθρωπίνων ἔργων αὐτὴν προηγεῖσθαι, ἀλλὰ καὶ ἐκ τοῦ τὴν θείαν θέλησιν καὶ πρόνοιαν αἰτίαν εἶναι τῶν γινομένων. Ἀδύνατον δὲ εἶναί τι αἴτιον τῆς θείας θελήσεως καὶ προνοίας, εἰ καὶ τῶν τῆς προνοίας ἀποτελεσμάτων, ὁμοίως δὲ καὶ προορισμοῦ τινός, δύναται ἑτέρα εἶναι αἰτία. „Τίς γάρ, ὥς φησιν ὁ Ἀπόστολος, δέδωκεν αὐτῷ πρότερος, καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τὰ πάντα· αὐτῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν": —

# *LIVRE QUATRIEME.*

## Préambule.

### *ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.*

### I. — Προοίμιον.

„Ἰδοὺ ταῦτα ἐκ μέρους τῶν ὁδῶν αὐτοῦ εἴρηται, καὶ εἰ μόλις μικρὰν σταγόνα τῶν λόγων αὐτοῦ ἀκηκόαμεν, τίς συνήσεται τῆς αὐτοῦ βροντῆς τὴν μεγαλειότητα καταλαβεῖν", ἐν τῷ εἰκοστῷ πέμπτῳ κεφαλαίῳ φησὶν ὁ Ἰώβ.

Πασῶν γὰρ τῶν τελειοτήτων ἐκ τῆς ἄκρας κορυφῆς τοῦ Θεοῦ κατερχομένων, ὁ ἄνθρωπος ἐκ τῶν ταπεινοτέρων ἀρχόμενος, καὶ κατὰ βαθμὸν ἀνιών, ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν ἀφικνεῖται, τοῦ Θεοῦ δεδωκότος αὐτῷ τὴν δύναμιν τοῦ οὕτως ἀνιέναι. Καὶ εἰσὶν αἱ ὁδοὶ αὗται μία, ἥτε τῶν πραγμάτων ἐκ τοῦ Θεοῦ δηλονότι κατάβασις εὔτακτος μέχρι καὶ τῶν ἐσχάτων κτισμάτων αὐτοῦ, ὡς ἡ ἡμετέρα πρὸς τὴν θείαν γνῶσιν ἀνάβασις ἀπὸ τῶν ταπεινοτέρων ἀρχομένοις καὶ κατὰ βαθμὸν ἀνιοῦσιν. Καὶ ἐπὶ τῶν σωματικῶν γὰρ κινήσεων ἡ αὐτή ἐστιν ὁδὸς δι' ἣν ἄνιμεν καὶ κάτιμεν, τῷ λόγῳ τοῦ τέλους καὶ τῆς ἀρχῆς διαφέρουσα.

---

**2 Mal. 1, 2, 3 4 Eph. 1, 4 14 Rom. 11, 36, 34 27 Iob, 26, 14**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006